GX79

# NATIONAL UNIVERSITY OF IRELAND, GALWAY

## SUMMER EXAMINATIONS, 2000

## Beginners' Greek

## GK101
## Paper 2

EXAMINERS: Professor John Dillon
Professor Colm Luibheid
Professor John Madden

Time allowed: 3 hours

All questions to be answered

1.Translate

ΠΕΙΣ. οὐκοῦν, ὅτε Περικλῆς ἤρχετο λέγειν ἐν τῷ δήμῳ, χείρονες ἦσαν οἱ Ἀθηναῖοι, ὅτε δὲ ἀπέθανε, βελτίονες;

ΡΑΨ. εἰκός. ὁ γὰρ ἀγαθὸς πολίτης βελτίους ποιεῖ τοὺς ἄλλους.

ΠΕΙΣ. ἀλλ' ἴσμεν σαφῶς καὶ ἐγὼ καὶ σύ, ὅτι πρῶτον μὲν εὐδόκιμος ἦν Περικλῆς ὅτε χείρους, ὡς σὺ φῄς, ἦσαν οἱ Ἀθηναῖοι, ἐπειδὴ δὲ ἐγένοντο βελτίους διὰ αὐτόν, κλοπὴν κατεψηφίσαντο αὐτοῦ, δῆλον ὅτι πονηροῦ ὄντος.

ΔΙΚ. ἀληθῆ λέγεις, εὖ οἶδ' ὅτι. τίς οὖν σώσει τὴν πόλιν; ἀνὴρ γὰρ φιλόπολις σώσει τὴν πόλιν, ἀλλ' οὐκ ἀπολεῖ. τί δεῖ ποιεῖν;

ΡΑΨ. δεῖ σε, ὦ Δικαιόπολι, ζητεῖν τὸ τῆς πόλεως ἀγαθόν.

ΔΙΚ. τί τὸ ἀγαθόν, ὦ ῥαψῳδέ; οὐ γὰρ αὐτό, ὅ τι ποτ' ἐστὶ τὸ ἀγαθόν, τυγχάνω εἰδώς.

ΡΑΨ. σὺ δ' οὐκ οἶσθα τί τὸ ἀγαθόν; ἐν δὲ τῇ νηὶ ἔδοξάς γε φιλόσοφός τις εἶναι, γνοὺς τὰ τῶν φιλοσόφων.

ΔΙΚ. μὴ παῖζε πρὸς ἐμέ, ὦ ῥαψῳδέ. οἱ γὰρ φιλόσοφοι ζητοῦσιν, ὡς ἀκούω, τί ἐστιν ἀγαθόν, εὑρίσκειν δ' οὐδεὶς δύναται. οἱ μὲν γὰρ ἀρετην, οἱ δὲ δικαιοσύνην ἡγοῦνται τὸ ἀγαθόν. ἀλλ' οὐδὲν ἴσασιν ἐκεῖνοι. οἱ δὲ γεωργοὶ τὸ ἀγαθὸν ἴσασι, τί ἐστιν. ἐν ἀγρῷ γὰρ ἔτυχον εὑρόντες αὐτό. ἔστι δ' εἰρήνη. ὁ μὲν γὰρ πόλεμος πλέως πραγμάτων, ἀπορίας, νόσου, παρασκευῆς νεῶν, ἡ δ' εἰρήνη πλέα γάμων, ἑορτῶν, συγγενῶν, παιδῶν, φίλων, πλούτου, ὑγιείας, σίτου, οἴνου, ἡδονῆς. εἰ δ' ἄλλος τις βούλεται σπονδὰς ποιεῖσθαι καὶ εἰρήνην ἄγειν, οὐκ οἶδα. ἀλλ' ἐγὼ αὐτὸς ἂν βουλοίμην. ἀλλὰ πῶς μόνος ὢν τὸν δῆμον ἀναπείσω; τί λέγων, ἢ τί βοῶν, ἢ τί κελεύων, σπονδὰς ποιήσομαι; ἀλλ' οὖν εἶμι, ἑτοῖμος ὢν βοᾶν καὶ κακὰ λέγειν τὸν ἄλλο τι πλὴν περὶ εἰρήνης λέγοντα. φέρε νυν, εἰς τὴν ἐκκλησίαν, Δικαιόπολι.

ΕΥ. καὶ ΠΕΙΣ. καίτοι ἡμεῖς γ' ἀνιστάμεθα εἰς τὸν τόπον τὸν ἀπράγμονα. χαίρετε.

# 2. Translate

ΔΙΚ. ὄλοιντο πάντες Ἀθηναῖοι ὅσοι ἐπαινοῦσί τε καὶ πείθονται οἷς λέγουσιν οἱ πρυτάνεις, κάκιστα δ' ἀπόλοιντο οἱ ῥήτορες οἳ τὸν δῆμον θωπεύουσι καὶ ἐξαπατῶσιν ἀεί. τί γὰρ οὐ πάσχομεν ἡμεῖς οἱ γεωργοὶ ὑπ' αὐτῶν; ἀεὶ γὰρ ὑπ' αὐτῶν ἐξαπατώμεθα καὶ ἀδικούμεθα καὶ ἀπολλύμεθα. ἀλλὰ τί ἔξεστιν ἡμῖν ποιεῖν, οὕτως ἀεὶ ὑπ' αὐτῶν ἀδικουμένοις; ὁ γὰρ δῆμος δοκεῖ γ' ἥδεσθαι πειθόμενος ὑπὸ τῶν ῥητόρων, καὶ τοῖς λόγοις αὐτῶν θωπευόμενος καὶ ἐξαπατώμενος καὶ διαφθειρόμενος. ἀεὶ γὰρ τιμᾶται ὑπὸ τοῦ δήμου ὁ λέγων ὅτι 'εὔνους εἰμὶ τῷ πλήθει', οὐδέποτε τιμᾶται ὁ χρηστὸς ὁ τὰ χρηστὰ συμβουλεύων.

ἴσως δὲ ἂν φαίη τις 'τί οὖν; ἐλεύθερός γ' ὁ δῆμος καὶ αὐτὸς ἄρχει, καὶ ὑπ' οὐδενὸς ἄλλου ἄρχεται. εἰ δὲ τυγχάνει βουλόμενος ὑπὸ τῶν ῥητόρων ἐξαπατᾶσθαι καὶ πείθεσθαι καὶ θωπεύεσθαι, ἔστω.'

ἐγὼ δ' ἀποκρίνομαι, 'καίτοι οἱ μὲν ναῦται κρατοῦσιν ἐν τῇ ἐκκλησίᾳ, οἱ δὲ γεωργοὶ ἄκοντες ἀναγκάζονται οἰκεῖν ἐν τῷ ἄστει, ἀπολλύμενοι τῇ οἰκήσει καὶ τῇ ἀπορίᾳ καὶ τῇ νόσῳ.'

ἴσως δὲ ἀποκρίναιτ' ἂν οὗτος 'σὺ δὲ ἐλεύθερος ὢν οὐ τυγχάνεις; μὴ οὖν φρόντιζε μηδέν, μήτε τοῦ δήμου μήτε τῶν ῥητόρων μήτε τοῦ πολέμου μήτε τῶν νόμων ἢ γεγραμμένων ἢ ἀγράφων. ἐν γὰρ ταύτῃ τῇ πόλει οὐδεὶς ὑπ' οὐδενὸς οὐδέποτε ἀναγκάζεται ποιεῖν ἃ μὴ ἐθέλει. ἀτεχνῶς δὲ ἐλευθέρους ἡγοῦμαι τούς τε ἵππους καὶ τοὺς ἡμιόνους τοὺς ἐν τῇ πόλει, οἳ κατὰ τὰς ὁδοὺς πορευόμενοι ἐμβάλλειν φιλοῦσι τοῖς ὁδοιπόροις τοῖς μὴ ἐξισταμένοις.'

εἶεν. γνοὺς οὖν ἐμαυτὸν ἐλεύθερόν γ' ὄντα καὶ οὐκ ἀναγκαζόμενον ὑπ' οὐδενὸς ποιεῖν ἃ μὴ ἐθέλω, τῶν ἄλλων πολεμούντων ἐγὼ αὐτὸς οὐ πολεμήσω, ἀλλ' εἰρήνην ἄξω. Ἀμφίθεε, δεῦρ' ἐλθέ· ἀλλ' Ἀμφίθεός μοι ποῦ ἐστιν;

3. Translate

ἐγὼ μὲν γὰρ βουλευτής ποτε καταστὰς ἔγραψα ψήφισμά τι ὃ ἐξήνεγκα εἰς τὸν δῆμον. ὁ δὲ Στέφανος οὑτοσί, γραψάμενος παρανόμων τὸ ἐμὸν ψήφισμα, τῆς ἔχθρας ὑπῆρξεν. ἑλὼν γὰρ τὸ ψήφισμα, ψευδεῖς μάρτυρας παρασχόμενος, ᾔτησε τίμημα μέγα, ὃ οὐκ οἷός τ' ἦ ἐκτεῖσαι. ἐζήτει γάρ, εἰς τὴν ἐσχάτην ἀπορίαν καταστήσας ἐμέ, ἄτιμον ποιεῖσθαι, ὀφείλοντα τὰ χρήματα τῇ πόλει καὶ οὐ δυνάμενον ἐκτεῖσαι.

ἐμέλλομεν οὖν ἡμεῖς ἅπαντες εἰς ἔνδειαν καταστήσεσθαι. μεγάλη δ' ἔμελλεν ἔσεσθαι ἡ συμφορὰ καὶ μεγάλη ἡ αἰσχύνη μοι ὑπέρ τε τῆς γυναικὸς καὶ τῶν θυγατέρων, εἰς πενίαν καταστάντι καὶ προῖκα οὐ δυναμένῳ παρασχεῖν καὶ τὸ τίμημα τῇ πόλει ὀφείλοντι. πολλὴν οὖν χάριν οἶδα τοῖς δικασταῖς, οἳ οὐκ ἐπείσθησαν ὑπὸ Στεφάνου, ἀλλ' ἐλάττονά μοι ἐτίμησαν δίκην.

οὐκοῦν τοσούτων κακῶν αἴτιος ἡμῖν πᾶσιν ἐγίγνετο Στέφανος, οὐδέποτε ὑφ' ἡμῶν ἀδικηθείς. νῦν δέ, πάντων τῶν φίλων παρακαλούντων με καὶ κελευόντων τιμωρεῖσθαι Στέφανον, ὑφ' οὗ τοιαῦτα ἠδικήθην, εἰσάγω εἰς ὑμᾶς ταύτην τὴν δίκην. ὀνειδίζουσι γάρ μοι οἱ φίλοι, ἀνανδρότατον ἀνθρώπων καλοῦντες, εἰ μὴ λήψομαι δίκην ὑπέρ τε τῶν θυγατέρων καὶ τῆς γυναικὸς τῆς ἐμῆς.

εἰσάγω οὖν εἰς ὑμᾶς καὶ ἐξελέγχω τὴν Νέαιραν ταυτηνί, ἣ εἰς τοὺς θεοὺς ἀσεβεῖ καὶ εἰς τὴν πόλιν ὑβρίζει καὶ τῶν νόμων τῶν ὑμετέρων καταφρονεῖ. Στέφανος γὰρ ἐπειρᾶτό με ἀφαιρεῖσθαι τοὺς οἰκείους παρὰ τοὺς νόμους. οὕτω καὶ ἐγὼ ἥκω εἰς ὑμᾶς καὶ φάσκω Στέφανον τοῦτον συνοικεῖν μὲν ξένῃ γυναικὶ παρὰ τὸν νόμον, εἰσαγαγεῖν δὲ ἀλλοτρίους παῖδας εἴς τε τοὺς φράτερας καὶ εἰς τοὺς δημότας, ἐγγυᾶν δὲ τὰς τῶν ἑταιρῶν θυγατέρας ὥσπερ αὑτοῦ οὔσας, ἀσεβεῖν δὲ εἰς τοὺς θεούς.

ὅτι μὲν οὖν ὑπὸ τοῦ Στεφάνου πρότερον ἠδικήθην, εὖ ἴστε. ὅτι δὲ Νέαιρά ἐστι ξένη καὶ συνοικεῖ Στεφάνῳ παρὰ τοὺς νόμους, ταῦθ' ὑμῖν βούλομαι σαφῶς ἐπιδεῖξαι.

4. Translate

## THE POLICY OF PERICLES

Οἱ μὲν οὖν Ἀθηναῖοι, ἐπεὶ τῷ μὲν ναυτικῷ ἴσχυον πεζῇ δ' ἀσθενέστεροι ἦσαν τῶν Λακεδαιμονίων, ὑπὸ τοῦ Περικλέους πεισθέντες πάντα ἐκ τῶν ἀγρῶν εἰσκομισάμενοι ἐντὸς τῶν τειχῶν ἔθεσαν καὶ τὴν γῆν τέμνειν εἴασαν τοὺς πολεμίους, οἷς οὔθ' αἱρεῖν τὴν πόλιν ἐξῆν ὡς οὕτως εὖ τετειχισμένην οὔτ' ἐκπολιορκεῖν αὐτοὺς ἐπεὶ σῖτον ἐν ταῖς ναυσὶν εἰσεκομίζοντο, ναῦς δὲ στείλαντες τὴν τῶν Πελοποννησίων γῆν ἔτεμον. ὕστερον δὲ διὰ τὸ τοσόνδε πλῆθος τὸ ἐν τῇ πόλει πολλοὶ διὰ νόσον ἐτελεύτησαν. οἱ δὲ Λακεδαιμόνιοι κατ' ἐνιαυτὸν εἰς τὴν Ἀττικὴν εἰσβαλόντες ἔτεμνον. καὶ ἐν τῇ πρώτῃ εἰσβολῇ ἐστρατήγει αὐτῶν Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεύς, ὃς φίλος ἦν τῷ Περικλεῖ καὶ τοὺς ἀγροὺς αὐτοῦ οὐκ ἔτεμνεν. ἐπεὶ δ' οἱ Ἀθηναῖοι ἐν ὑποψίᾳ εἶχον αὐτόν, τοιάδε ἐν τῇ ἐκκλησίᾳ ἔλεξεν· Ἀρχίδαμος μέν μοι φίλος ἐστίν, οὐ μέντοι ἐπὶ κακῷ γε τῆς πόλεως, τοὺς δ' ἀγροὺς καὶ τὰς οἰκίας εἰ ἄρα μὴ τέμνουσιν οἱ πολέμιοι, ἀφίημι αὐτὰ δημόσια εἶναι, ἵνα μὴ ὑποψία περὶ ἐμοῦ ᾖ ἐν τῷ δήμῳ.